θεόθεν πράξας ἅπερ ηὔχου.
ΜΕ. ὦ δῶμα, τῇ μέν σ᾽ ἡδέως προσδέρκομαι
Τροίαθεν ἐλθών, τῇ δ᾽ ἰδὼν καταστένω·
κύκλῳ γὰρ εἱλιχθεῖσαν ἀθλίοις κακοῖς
οὐπώποτ᾽ ἄλλην μᾶλλον εἶδον ἑστίαν.
᾽Αγαμέμνονος μὲν γὰρ τύχας ἠπιστάμην
καὶ θάνατον, οἵῳ πρὸς δάμαρτος ὤλετο,
Μαλέᾳ προσίσχων πρῷραν· ἐκ δὲ κυμάτων
ὁ ναυτίλοισι μάντις ἐξήγγειλέ μοι
Νηρέως προφήτης Γλαῦκος, ἀψευδὴς θεός,
ὅς μοι τόδ᾽ εἶπεν ἐμφανῶς κατασταθείς·
Μενέλαε, κεῖται σὸς κασίγνητος θανών,
λουτροῖσιν ἀλόχου περιπεσὼν πανυστάτοις.
δακρύων δ᾽ ἔπλησεν ἐμέ τε καὶ ναύτας ἐμοὺς
πολλῶν. ἐπεὶ δὲ Ναυπλίας ψαύω χθονός,
ἤδη δάμαρτος ἐνθάδ᾽ ἐξορμωμένης,
δοκῶν ᾽Ορέστην παῖδα τὸν ᾽Αγαμέμνονος
φίλαισι χερσὶ περιβαλεῖν καὶ μητέρα,
ὡς εὐτυχοῦντας, ἔκλυον ἁλιτύπων τινὸς
τῆς Τυνδαρείας παιδὸς ἀνόσιον φόνον.
καὶ νῦν ὅπου ᾽στὶν εἴπατ᾽, ὦ νεάνιδες,
᾽Αγαμέμνονος παῖς, ὃς τὰ δείν᾽ ἔτλη κακά.
βρέφος γὰρ ἦν τότ᾽ ἐν Κλυταιμνήστρας χεροῖν,
ὅτ᾽ ἐξέλειπον μέλαθρον εἰς Τροίαν ἰών,
ὥστ᾽ οὐκ ἂν αὐτὸν γνωρίσαιμ᾽ ἂν εἰσιδών.
ΟΡ. ὅδ᾽ εἰμ᾽ ᾽Ορέστης, Μενέλεως, ὃν ἱστορεῖς.
ἑκὼν ἐγώ σοι τἀμὰ μηνύσω κακά.
τῶν σῶν δὲ γονάτων πρωτόλεια θιγγάνω
ἱκέτης, ἀφύλλους στόματος ἐξάπτων λιτάς·
σῶσόν μ᾽· ἀφῖξαι δ᾽ αὐτὸν εἰς καιρὸν κακῶν.
ΜΕ. ὦ θεοί, τί λεύσσω; τίνα δέδορκα νερτέρων;

---

358. *ἀθλίως C* 365. *τάδ᾽* F *C* *κατασταθείς* Ac *παρασταθείς* ceteri. 372. *καί* om. *C* 373. *ἁλιτύπων*] Byzantini, *ἁλικτύπων* libri. 374. *παιδός γρ. θυγατρός* A *παιδός*, sed *θυγατρός* pro *ἔκλυον* v. superiore, B *παιδός* ceteri. 378. *ἐξέλιπον* libri. 381. *σημανῶ* Bc 383. *ἀφύλλους*] Reiskius, *ἀφύλλου* libri. 384. *αὐτόν*] Schaeferus, *αὐτός* libri.